24

# ΕΥΧΗ

Θερμοτάτη καὶ ἐξ ὅλου θυμοῦ πηγάζουσα,
τῇ ἡμέρᾳ Ονομαστικῇ τοῦ

## ΑΝΔΡΟΣ

Αιδεσιμωτάτου, Περιφανεστάτου καὶ Σοφωτάτου,

## ΚΥΡΙΟΥ
## ΑΝΔΡΕΟΥ ΟΥΓΓΛΕΓΚΙΟΥ,

Εκκλησιαστοῦ πρὸς τὸν Αγιον Λαυρέντιον ἐνδοξοτάτου, καὶ Επαγγελτοῦ ἐν
τῷ Ακροατηρίῳ Νωρικῷ ἀξιωτάτου, Κυρίου καὶ Ευεργέτου μεγίστου,

προσενεχθεῖσα παρὰ τοῦ τῆς ἐξοχῆς αὐτοῦ
δούλου ταπεινοτάτου,

ΛΕΟΝΑΡΔΟΥ ΧΡΙΣΤΟΦΟΡΟΥ ΡΙΕΔΕΡΗΡΟΥ.

Ενιαυτῷ τῆς Χριστογονίας Χιλιοστῷ, ἑξακοσιοστῷ, ὀγδοηκοστῷ
ἑβδόμῳ, μηνὸς Νοεμβρίου ἡμέρᾳ
τριακοστῇ.

Ad Bibl. Acad. Lund.

1687.

Universitäts-
München
Bibliothek

Ω φάος ἠελίοιο μακάρτατον! ὥρα ποθεινή!
Ποσσάκις ἔχε μ' ὁρᾷν ἄιφνης Σὲ γλύκιστον ἐέλδωρ,
Ὥστε τοῦ Εὐεργοῦ φιλέειν μοῦ χεῖρα δύναται;
Ὥσπερ γὰρ φαιδρῶς ἠῶ ἐπιθυμεῖ ὁ φρουρὸς,
Πᾶσιν τοῦ καιροῦ στιγμὴν ἄτομόν τε ἀριθμῶν,
Μέχρις ὁ ἥλιος πάλιν οὐρανὸν ἀμφιβεβήκῃ·
Ὡς Νύμφη μνηστοῦ ποθέει, αὐτοῦ τε ὀρεχθεῖ
Προσπτύσσειν κεφαλὴν καὶ ἄμφω φάεα καλά·
Ὡς Ναύτης γλίχεται εἰς ναύλοχον ὅρμον ἱκέσθαι·
Οὕτω πλεῖστον ἐγὼ καιρὸν παρέμεινα ἐκείνην
Τὴν ὥραν καὶ ἦμαρ, ἐν ᾧ πρώτως ἐγενήθης,
Ὥστε Σὲ προσκυνέειν φαιδρῶς, ὡς ἥλιον ἄλλον,
Καὶ ὡσεὶ μνηστῇ τῷ ἐμῷ ἱλαρῶς γε συναντᾶν,
Καὶ εἰς εὐτυχίης μου εὔπλοον ὅρμον ἐσελθεῖν,
Ὅντινα ἐνδελεχῶς ζητῶ, ὡς ναυτίλος. Ἡ γὰρ
Εὐμαθίη, ἀγανοφροσύνη, εὔκλεια τε Σεῖο
Μοὶ πόθον ἐμβάλλει θυμῷ Σὲ ἅπαντι σεβάζειν,
Καί Σοι προσκεῖσθαι ψυχῆς μέο χάρματι, ὅτι
Τύνη ἔρεισμα τε ἄλκαρ ἐμὸν τε ἀρωγὸς ἐτύχθης.
Ὅτι δὲ οὖτ' ἦμαρ νῦν φαίνεται ἄμμι, τί ἄλλο

Ποιήσω

Ποιήσω πρώτιστα, Ανερ θαυμαστὲ, τί ῥέξω,
Η εὐχὰς παραδοῦναι καὶ θεραπείαν ἐμεῖο
Σημαίνειν; Διόπερ λαβὲ, προσέτα ἀγλαόφημε,
Ω καὶ φρουρὰ ἐμὴ καὶ κάλλος ἐμὸν πολὺ ἡδὺ,
Ευχωλὴν, ἣν καὶ κραδίη καὶ γλῶσσα προσάδει.
Πάντα Σοὶ Αθάνατος κραδίῃ κεχαρισμένα ῥέζοι,
Πᾶσαν ἀναπλήσειε τὴν θεοτερπέα βουλήν.
Δόιη ζῆν πλουτοῦντα κακῶν ἀπάτερθε μεριμνῶν
Πολλαῖς ἐν δεκάδεσσιν ἑλισσομένων ἐνιαυτῶν.
Δοίη ἐν πάντεσσι παρέστασθ' ἠδὲ διδάσκειν
Τὴν ἥβην, ἣ ὁσημέραι ἐμπλήθην Σοῦ ἀκούει.
Δοίη ζῆν Χριστοῦ κλισίῃ, θεοσέπτορι λαῷ,
Ωστε Σ' ἄγειν πλείστας μερόπων εἰς αἰθέρα ψυχὰς,
Ηδὲ τυχεῖν στεφάνου δόξης ποτὲ, Σεῖο πρὸ μισθοῦ.